# 136. BLESSING LITTLE CHILDREN

| Mark 10:13-16 | Luke 18:15-17 |
| --- | --- |
| *Καὶ προσέφερον αὐτῷ* | *Προσέφερον δὲ αὐτῷ* |
| *παιδία,* | *καὶ τὰ βρέφη* |
| *ἵνα αὐτῶν ἅψηται·* | *ἵνα αὐτῶν ἅπτηται·* |
| *οἱ δὲ μαθηταὶ* | *ἰδόντες δὲ οἱ μαθηταὶ* |
| *ἐπετίμησαν αὐτοῖς.* | *ἐπετίμων αὐτοῖς.* |
| *14 ἰδὼν δὲ ὁ Ἰησοῦς* | *16 ὁ δὲ Ἰησοῦς* |
| *ἠγανάκτησεν καὶ εἶπεν αὐτοῖς,* | *προσεκαλέσατο αὐτὰ λέγων,* |
| *Ἄφετε τὰ παιδία* | *Ἄφετε τὰ παιδία* |
| *ἔρχεσθαι πρός με,* | *ἔρχεσθαι πρός με* |
| *μὴ κωλύετε αὐτά,* | *καὶ μὴ κωλύετε αὐτά,* |
| *τῶν γὰρ τοιούτων ἐστὶν* | *τῶν γὰρ τοιούτων ἐστὶν* |
| *ἡ βασιλεία τοῦ θεοῦ.* | *ἡ βασιλεία τοῦ θεοῦ.* |
| *15 ἀμὴν λέγω ὑμῖν,* | *17 ἀμὴν λέγω ὑμῖν,* |
| *ὃς ἂν μὴ δέξηται* | *ὃς ἂν μὴ δέξηται* |
| *τὴν βασιλείαν τοῦ θεοῦ* | *τὴν βασιλείαν τοῦ θεοῦ* |
| *ὡς παιδίον,* | *ὡς παιδίον,* |
| *οὐ μὴ εἰσέλθῃ* | *οὐ μὴ εἰσέλθῃ* |
| *εἰς αὐτήν.* | *εἰς αὐτήν.* |
| *16 καὶ ἐναγκαλισάμενος αὐτὰ κατευλόγει* | |
| *τιθεὶς τὰς χεῖρας ἐπ αὐτά.* | |

88 words out of 119 words = %